# Περὶ ἐννεακαιδεκαετηρίδος, ἥτις ϗ περίοδος Μέτωνος, ϗ σελήνης κύκλοι λέγεται.

## Ὅρος κϛʹ.

Κύκλοι Σελήνης εἰσὶ περίοδος ἐννέα ϗ δέκα ἐτῶν· ὧν πληρωθέντων αἱ νεομηνίαι τε, ϗ πανσέληνοι κατὰ τὰς πάλαι ἐπὶ τὰς αὐτὰς ἐπανέρχονται τοῦ ἔτους ἡμέρας· καλεῖται δὲ καὶ ἕκαστον τῶν ἐν αὐτῇ ἐτῶν τῷ αὐτῷ ὀνόματι.

## Σχόλιον.

Οἱ ἀρχαῖοι τῶν Ἑλλήνων, εἰ ϗ σεληνιακῷ ἐχρῶντο ἔτει ὡς εἴρηται, οὐ μήν τοι ἁπλῶ ϗ ἀπολύτῳ, ἀλλὰ καὶ πρὸς τὴν ἡλιακὴν ἀναφερομένῳ κίνησιν· ἔνθεν τοι ϗ ἐξίσωσίν τινα τῶν κινήσεων, ἡλιακῆς φημὶ ϗ σεληνιακῆς εὑρεῖν ἐπειράθησαν· ἤτοι περιόδου τινὸς τυχεῖν χρονικῆς, μεθ' ἣν ἀπὸ τῆς αὐτῆς ἂν ἡμέρας καὶ ὥρας τό, τε ἡλιακὸν ἔτος ϗ τὸ σεληνιακὸν ἄρξαιτο, ἀφ' ἧς ϗ πρότερον· πολλαχῶς τοίνυν τούτου ἐπιτυχεῖν πειραθέντες, ἀλλ' ἐν ἅπασι τῷ χρόνῳ ἀπάτην φωράσαντες, τελευταῖον διὰ τῆς ἐννεακαιδεκαετηρίδος ἐγκρατεῖς γενέσθαι τοῦ κυνηγεσίου ᾠήθησαν· Ἐν γὰρ τοῖς ἄνω χρόνοις, ἐν οἷς οὔπω τὰ τῆς ἀστρονομίας αὐτοῖς ἐξηκρίβωτο, τῇ δυετηρίδι ἐχρήσαντο, κατὰ ταύτην οἰόμενοι ἀποκατάστασιν γίνεσθαι τῶν φωστήρων κατὰ τὴν οἰκείαν Δυετηρίς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

αὐτῶν κίνησιν· ἀλλ' ἐξηλέγχθησαν τῷ χρόνῳ ψευδόμενοι, ὅπερ αὐτόθεν δῆλον· δύο γὰρ σεληνιακὰ ἔτη, ὧν τὸ μὲν εἴη κοινὸν κατ' αὐτοὺς, ἤτοι δωδεκάμηνον, τὸ δὲ ἐμβόλιμον τουτέστι τρισκαιδεκάμηνον περιέχουσιν ἡμέρας ἐννέα καὶ τριάκοντα πρὸς ταῖς ἑπτακοσίαις, δύο δὲ ἡλιακὰ τριάκοντα πρὸς ταῖς ἑπτακοσίαις· ὥστε μεταξὺ τούτων κἀκείνων παρεμπίπτειν ἐννέα ἡμερῶν διαφοράν· ταῦτ' ἄρα ταύτην καταλιπόντες πρὸς τὴν τετραετηρίδα ἀπεῖδον· ἀλλὰ καὶ διὰ ταύτης τοῦ σκοπουμένου οὐκ ἔτυχον.

Τετραετηρίς.

Τέτταρα γὰρ ἔτη ἡλιακὰ συνίστανται ἐξ ἡμερῶν τετρακοσίων ἑξήκοντα καὶ μιᾶς πρὸς ταῖς χιλίαις, ἀλλὰ τοσαῦτα σεληνιακὰ περιεκτικὰ ὄντα μηνῶν ἐννέα καὶ τεσσαράκοντα, ἢ κατ' ἄλλους πεντήκοντα, συσταθήσονται ἐξ ἡμερῶν τετρακοσίων τεσσαράκοντα ἓξ καὶ χιλίων, ἢ τετρακοσίων ἑβδομήκοντα πέντε πρὸς ταῖς χιλίαις· οὐ μικρὰ ἑκατέρωθεν ἡ διαφορά· κατὰ γὰρ τὴν πρώτην ὑπόθεσιν ἔσται ἡμερῶν δεκαπέντε καθ' ὑπεροχὴν, κατὰ δὲ τὴν δευτέραν τεσσάρων καὶ δέκα κατ' ἔλλειψιν, διὸ οἱ μετ' ἐκείνους τῇ Ὀκτωετηρίδι προσέσχον·

Ὀκτωετηρίς.

ἀλλὰ καὶ αὕτη, εἰ καὶ προσεγγίζει τῇ ἀληθείᾳ, οὐ μέντοι παντάπασιν ἔχεται ἀκριβείας· κἀνταῦθα γὰρ τὰ μὲν ἡλιακὰ ὀκτὼ ἔτη ἔχουσιν ἡμέρας ἐννεακοσίας εἴκοσι δύο πρὸς ταῖς δισχιλίαις, τὰ δὲ σεληνιακὰ μιᾷ ἡμέρᾳ καὶ ἡμισείᾳ πλεονάζουσι· τῶν μὲν πέντε κοινῶν ὄντων κατ' ἐκείνους, καὶ ἐκ μηνῶν ἑξήκοντα συνεστηκότων, τῶν δ' ἄλλων ἐμβολίμων, καὶ περιεκτικῶν ὄντων μηνῶν ἐννέα καὶ τριάκοντα· ἐπεὶ δὲ κἂν τούτοις τοιαύτη εὑρίσκεται διαφορὰ, οὐκ ἂν εἴη κατὰ τὸν αὐτὸν πάντως

χρόνον ἀμφοτέρων ἡ ἀρχή· ἀλλὰ θᾶττον ἂν ἄρξαιτο τὸ ἡλιακὸν τοῦ σεληνιακοῦ· ὅθεν δοκιμωτέρα τούτων ἔδοξε τοῖς πάλαι ἡ Μέτωνος τοῦ Ἀθηναίου ἐννεακαιδεκαετηρὶς, εἰ καὶ τοῖς νεωτέροις καὶ αὕτη μὴ κατὰ σκοπὸν βάλλουσα ἐφάνη, καὶ διὰ τοῦτο ἀδόκιμος, ὡς κατωτέρω ῥηθήσεται· ἀλλὰ πρότερον ῥητέον περὶ τῆς κατὰ Μέτωνα ἐτησίας καὶ μηνιαίας ὑποθέσεως· οὗτος γὰρ, ὡς ἔοικε, συνιστὰς τὸ μὲν ἡλιακὸν ἔτος ἐκ $365^{\eta}$, $6^{\omega}$, $18'$, $56''$, $50'''$, $31''''$, $34'''''$, τὸν δὲ σεληνιακὸν μῆνα ἐκ $29^{\eta}$, $12^{\omega}$, $45'$, $47''$, $26'''$, $48''''$, $30'''''$, συνῆγε δι' ἀστρονομικῆς ψηφηφορίας ἐκ μὲν ἡλιακῶν ἐτῶν ἐννέα πρὸς τοῖς δέκα, ἡμέρας τριάκοντα ἐννέα, καὶ ἐννεακοσίας πρὸς ταῖς ἑξακισχιλίαις, καὶ ὥρας 23, τοσαύτας δὲ καὶ ἐκ μηνῶν διακοσίων τριάκοντα πέντε, καὶ ἑπομένως τὴν εἰς τὸ αὐτὸ πάλιν τῶν φωστήρων ἀποκατάστασιν· οἱ δὲ μετ' ἐκεῖνον καὶ ἐξ ἐκείνου τὴν περίοδον ταύτην ἐρανισάμενοι, τὸ μὲν ἡλιακὸν ἔτος κατὰ τὸν τοῦ Σωσιγένους διορισμὸν ἐξ ἡμερῶν 365, καὶ ὡρῶν ἓξ συγκεῖσθαι ὑποτιθέμενοι, τὸν δὲ συνοδικὸν μῆνα ἐκ $29^{\eta}$, $12^{\omega}$, $44'$, $30''$, συνῆγον ἐκ μὲν ἐννέα καὶ δέκα ἐτῶν, ἐν οἷς τοὐλάχιστον τέτταρα ἂν εὑρεθεῖεν βίσεξτα, ἡμέρας ἐννεακοσίας τριάκοντα ἐννέα πρὸς ταῖς ἑξακισχιλίαις, καὶ ὥρας δέκα καὶ ὀκτώ, τοσαύτας δὲ καὶ ἐκ μηνῶν διακοσίων τριάκοντα πέντε· ἀλλ' ἐπείπερ τὰ προκείμενα τοῖς μησὶ λεπτὰ εἰς πολιτικὴν χρῆσιν ἀνοίκεια, οὐ γὰρ ἅπασιν εὐπαρακολούθητος ὁ κατ' αὐτὰ ἐπιλογισμὸς, τὸν μῆνα ἐξ ἡμερῶν ἐννέα πρὸς ταῖς εἴκοσι καὶ δώδεκα ὡρῶν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Δ τμ. Κ. τ.11 ΙΩΑΝΝΙΝΑ 2006

λαμβάνοντες διὰ τὸ εὐχερέστερον, ἐποίουν ἐξ αὐτῶν τὰ σεληνιακὰ ἔτη, ἀπονέμοντες ἑκάστῳ μῆνας δυοκαίδεκα, τοὺς μὲν ἓξ τριακονθημέρους καὶ πλήρεις, τοὺς δὲ λοιποὺς μιᾷ ἐλλείποντας καὶ κοίλους ἐναλλὰξ παρ' ἕνα· καὶ γὰρ εἴτε ἐξ ἡμερῶν 29, καὶ ὡρῶν 12 ληφθείη ἕκαστος τῶν μηνῶν, εἴτε ὁ μὲν τριάκοντα, ὁ δὲ μιᾷ ἐλλείπων, τριακόσιαι πεντήκοντα τέσσαρες ἡμέραι καθ' ἑκατέραν ὑπόθεσιν συναχθήσονται, καὶ τὸ σεληνιακὸν ἔτος ἐκ τοσούτων συσταθήσεται, ἐλλεῖπον τοῦ ἡλιακοῦ ἡμέραις ἕνδεκα· τούτων δὲ τῶν ἕνδεκα ἡμερῶν ἐν ἔτεσι δέκα καὶ ἐννέα εἰς ἡμέρας ἐννέα πρὸς ταῖς διακοσίαις συμποσουμένων, ἀναφύονται μῆνες ἑπτά, ἓξ μὲν πλήρεις, εἷς δὲ κοῖλος, οὓς προσετίθουν τῷ τρίτῳ, ἕκτῳ, ὀγδόῳ, δεκάτῳ πρώτῳ, δεκάτῳ τετάρτῳ, δεκάτῳ ἑβδόμῳ, δεκάτῳ ἐννάτῳ ἔτει τῆς περιόδου ταύτης ἕκαστον ἑκάστῳ, ἐμβολιμαῖα ταῦτα ποιοῦντες ἤτοι τρισκαιδεκάμηνα, ἵνα τὰ δέκα καὶ ἐννέα ἔτη κοινά τε φημὶ καὶ ἐμβολιμαῖα περιεκτικὰ γένωνται ἡμερῶν ἐννεακοσίων τριάκοντα πέντε πρὸς ταῖς ἑξακισχιλίαις· ταύταις δὲ προστιθεμένων καὶ τῶν τεσσάρων τῶν ἐν τοῖς βισέξτοις· λογίζεσθαι γὰρ καὶ ταύτας προσήκει καὶ προσκεῖσθαι ὥσπερ ἐν τοῖς ἡλιακοῖς, οὕτω κἀν τοῖς σεληνιακοῖς ἀπαιτούσης τοῦτο τῆς ἐξ ἀρχῆς ὑποθέσεως, καθ' ἣν ὑπόκειται τὸν μῆνα περιεκτικὸν εἶναι ἡμερῶν 29, ὠρῶν 12, τῶν προσκειμένων λεπτῶν παρεωραμένων· συναχθήσονται καὶ ἐκ τούτων ἡμέραι, ἴσαι δὴ καὶ ἐκ τῶν ἡλιακῶν· αἱ δ' ἑκατέρωθεν λειπόμεναι ὧραι δέκα καὶ ὀκτὼ τῷ ἐφεξῆς βισέξτῳ προστίθενται· Ἐ-

πισάσεως μέντοι ἄξιον, ὅτι εἴπερ τὸ ἔτος, ἐξ ὃ ἡ ἀρχὴ τῆς περιόδου ταύτης ληφθῇ, πρῶτον ἢ μετὰ βισεξτον, τέτταρα ἐν τῇ περιόδῳ ἔσονται βίσεξτα, ἤτοι τὸ τέταρτον, ὄγδοον, δέκατον δεύτερον, δέκατον ἕκτον, ἐὰν δὲ δεύτερον, ἢ τρίτον, ἢ ϗ βίσεξτον, πέντε· ἡ αὐτὴ μέντοι γε μέθοδος κατ᾽ ἀμφοτέρους, τοὺς τρόπους, πλὴν ὅτι κατὰ τὴν δευτέραν ὑπόθεσιν πλεονάζει ὁ τῶν ἡμερῶν ἀριθμὸς μιᾷ ἡμέρᾳ καθ᾽ ἑκατέραν ἐννεακαιδεκαετηρίδα, ἡλιακὴν φημὶ ϗ σεληνιακήν.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΜΕΛΕΤΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

## Πρόβλημα δέκατον δεύτερον.

*Δοθέντος τοῦ ἔτους, τοὺς τῆς σελήνης κύκλους εὑρεῖν.*

Ἐπείπερ ϗ ἐπὶ τῶν τῆς σελήνης κύκλων, ὡς ϗ ἐπὶ τῶν τοῦ ἡλίου, καὶ τῆς Ἰνδικτιῶνος ὀπισθοδρομοῦντες οἱ δυτικοὶ, εὑρίσκουσι τὸ ἔτος τῆς θείας ἐνανθρωπήσεως ἐσχηκέναι δύο κύκλους σελήνης, ῥᾷστα τοὺς κύκλους παντὸς ἔτους τῶν ἑπομένων τούτῳ θηρεύουσι, προσιθέντες μονάδα τῷ δοθέντι, ϗ τὸν ἐξ ἀμφοῖν διαιροῦντες ἐπὶ τὸν 19· ὁ γὰρ ἐναπολειπόμενος ἀριθμὸς μετὰ τὴν διαίρεσιν, τοὺς ζητουμένους κύκλους παρίστησι· κἂν μηδὲν ἐναπολειφθῇ, δέκατος ἔννατος κύκλος ἔσαι ὁ ζητούμενος.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Εὕρεσις Ἰνδικτιόνος, ἡλίου κύκλων καὶ σελήνης κατὰ τοὺς ἀνατολικούς.

Οἱ δ᾽ ἀνατολικοὶ ἀπονώτερον τὰ τοιαῦτα εὑρίσκουσι· τὴν γὰρ ἐκκλησιαστικὴν περίοδον ἀντ᾽ ἐποχῆς τῶν ἀπὸ κτίσεως κόσμου ἐτῶν χρώμενοι, ᾗ συνάρχονται αἱ τρεῖς αὗται περίοδοι, καὶ συμπερατοῦνται τὸ δοθὲν ἔτος ἀπ᾽ ἐκείνης ἀριθμοῦντες, καὶ τὸν ἀναλογοῦντα αὐτῷ ἀριθμὸν ἐπὶ τὸν 15, καὶ 19, καὶ 28, διαιροῦντες τοὺς ἐναπολειπομένους ἀριθμοὺς τῶν ζητουμένων, λαμβάνουσι παραστατικούς.

## Περὶ τῆς κατὰ Κάλλιπον περιόδου.

### Ὅρος. κζ΄.

Ἡ κατὰ Κάλλιπον περίοδος ἐστὶ σύστημα ἓξ καὶ ἑβδομήκοντα ἐτῶν συνεχῶς ἐπεισκυκλουμένων, ἐν οἷς καθ᾽ ἕκαστον ος΄. ἔτος αἱ νουμηνίαι καὶ πανσέληνοι ἐπὶ τὸν αὐτὸν χρόνον κατ᾽ αὐτὸν ἐπανίασι.

### Σχόλιον.

Ὁ γὰρ Κάλλιπος, ἑκατὸν ὕστερον ἔτεσι μετὰ Μέτωνα, ἐξ ἑτέρων ὁρμώμενος ἀστρονομικῶν ὑποθέσεων, καὶ τὸ μὲν ἡλιακὸν ἔτος 365 ἡμερῶν καὶ ὡρῶν 6 ὑποτιθέμενος, τὸν δὲ σεληνιακὸν μῆνα 29$^{η}$, 12$^{ω}$, 44΄, 25΄΄, καὶ ἑπομένως συνάγων καθ᾽ ἑκάστην

ἐννεακαιδεκαετηρίδα ἡμέρας 6939, καὶ ὥρας 18, καὶ τετραπλασιάσας ταύτην, ἵνα καὶ αἱ προσκείμεναι ὧραι εἰς ἡμέρας συμποσωθῶσιν, καὶ ἡ περίοδος ἡ συγκειμένη ἐξ ὁλοκλήρων ἡμερῶν τὴν τῶν ἑβδομήκοντα, καὶ ἓξ ἐτῶν συνεςήσατο περίοδον· συναγομένων δὲ ἐκ τούτων ἡμερῶν 27759, ὅσαι δὴ καὶ ἐκ μηνῶν σεληνιακῶν 940 ἐμπεριεχομένων τούτοις τοῖς ἔτεσιν, ᾤετο μετὰ τὴν συμπλήρωσιν τῶν 76 ἐτῶν τὰς νουμηνίας καὶ πανσελήνους ἐπὶ τὴν πρώτην ἐπανιέναι χώραν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ τῆς καθ' Ἵππαρχον περιόδου.

### Ὅρος. κη'.

Ἡ καθ' Ἵππαχον περίοδος συνέςηκεν ἐξ ἐτῶν ἡλιακῶν 304 τριακοσίων τεσσάρων, ὧν πληρωθέντων ἐπανέρχονται καθ' Ἵππαρχον αἵτε νουμηνίαι καὶ πανσέληνοι ἐπὶ τὰς αὐτὰς ἡμέρας, ἐφ' ἃς καὶ πρότερον.

### Σχόλιον.

Καὶ γὰρ ὁ Ἵππαρχος τοῖς τοῦ Καλλίππου μὴ ἀρκεσθεὶς, ἀλλ' ἔλαττον τὸ ἡλιακὸν ἔτος ὑποτιθέμενος, ἤτοι $365^{\eta}, 5^{\omega}, 55', 12''$, συνῆγεν ἑπομέναις ταῖς αὐτοῦ ὑποθέσεσιν ἐν τοῖς 76 ἔτεσιν, ὥρας ἓξ, καίτι πρὸς πλεονάζειν κατὰ Κάλλιπον, ἐν δὲ 304 ἔτεσι τετράκις τοσαύτας, ἤτοι ἡμέραν μίαν· διὸ τὴν οἰκείαν περίοδον τετραπλασίονα τῆς τοῦ Καλλίππου

Ε.Υ.Δ της Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

συςησάμενος, ἤτοι ἐτῶν τριακοσίων τεττάρων μηνῶν δὲ σεληνιακῶν ἑπτακόσιων ἑξήκοντα πρὸς τοῖς τρισχιλίοις ἐβϐλετο περιεκτικὴν εἶναι ταύτην ἐχ ἡμερῶν 111036, ὅσαι δὴ συνάγονται ἐκ τῶν ειρημένων μηνῶν, ἀλλὰ ἐξ 111035, αἵγε παράγονται κατ' αὐτὸν, καὶ ἐκκόπτεται ὁ κατὰ Κάλλιπον πλεονασμὸς, ὃς ἐςὶ μιᾶς ἡμέρας.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

## Περὶ τῆς κατὰ Βίκτορα, ἢ Διονύσιον περιόδυ.

### Ὅρος. κθ'.

Ἡ Βίκτορος, ἢ Διονυσίου περίοδος συνέςηκεν ἐκ 532 ἐτῶν ἡλιακῶν πολιτικῶν, μεθ' ἃ αἵτε νυμηνίαι, καὶ πανσέληνοι ἐπὶ τὰς αὐτὰς ἐπανέρχονται ἡμέρας.

### Σχόλιον.

Τὴν περίοδον ταύτην πρῶτον μὲν φασὶν ἐπινοηθῆναι ὑπὸ Βίκτορος ἐπὶ Ἱλαρίυ πάπα ῥώμης· ὕςερον δὲ ἐν χρήσει γενέσθαι καὶ τῇ ἐκκλησίᾳ εἰσηγησαμένυ Διονυσίυ, ὃς ὑπὸ τῶν δυτικῶν ἐξίγυυς, ἤτοι ἐλάχιςος ἢ μικρὸς ἐπονομάζεται, εἰς εὕρεσιν τῶν τῦ ἡλίυ, καὶ σελήνης κύκλων, ναὶ μὴν καὶ τῆς τῦ ἁγίυ Πάσχα ἑορτῆς· ἀνθ' ὅτυ διονυσιακὴ κατ' αὐτὺς λέγεται καὶ κύκλος πασχάλιος, κατὰ δὲ τὺς ἀνατολικὺς ἄλφα· ὅτι τῶν ἐν τύτῳ γραμμάτων συμψη-

Σ.Υ.Δ.Β. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φιζομένων, ὁ 532 συνίσταται ἀριθμός· αὕτη τὴν γένεσιν ἴσχει ἐκ τῆς ἐννεακαιδεκαετηρίδος, καὶ τῆς εἰκοσιοκτωετηρίδος· τοῦ γὰρ 28 ἐπὶ τὸν 19 πολλαπλασιαζομένου, ἀναφύεται περιεκτικὴ οὖσα, ὡς εἴρηται, ἐτῶν μὲν 532, μηνῶν δὲ 6580, καὶ ἡμερῶν 194313· τοῖς γοῦν ὑποτιθεμένοις τὴν ἐννεακαιδεκαετηρίδα ἀληθεύουσαν ἐπὶ τῇ ἀποκαταστάσει τῶν νουμηνιῶν καὶ πανσελήνων, συνάγεται καὶ τὴν περίοδον ταύτην χρησιμεύειν, οὐ μόνον εἰς εὕρεσιν τῶν τοῦ ἡλίου κύκλων καὶ σελήνης, ἀλλά γε δὴ κἀκείνων.

## Ἔλεγχος τούτων κατὰ τοὺς νεωτέρους.

Ταῦτα μὲν οὗτοι, οἱ δὲ νεώτεροι οὐδεμίαν τούτων τῶν περιόδων ἐγκρίνουσιν, ἀλλὰ πάσας ὁμοίως ὡς ἐμποιούσας τοῖς χρωμένοις ἀπάτην ἀποδοκιμάζουσι· περὶ γὰρ τῆς ἐννεακαιδεκαετηρίδος τί χρὴ καὶ λέγειν, ὅπου γε μᾶλλον τῶν ἄλλων διαμαρτάνουσα τοῦ σκοποῦ ἐφάνη, καὶ διὰ τοῦτο ἐν δίκῃ τῶν κατ᾽ αὐτοὺς χρονολογικῶν πινάκων ἐξέωσται, ὡς ἐν τοῖς ἔπειτα δηλωθήσεται· ἡ δὲ κατὰ τὰς ἄλλας ἀπάτη ὧδέ πως ἐξελήλεγκται· ὑποτιθέμενοι οἱ νεώτεροι τὸ μὲν ἡλιακὸν ἔτος ἐξ ἡμερῶν $365^{\eta}$, $5^{\omega}$, $49'$. τὸν δὲ σεληνιακὸν μῆνα ἐξ ἡμερῶν $29^{\eta}$, $12^{\omega}$, $44'$, $3''$, $11'''$· συνιστάμενον, συνάγουσιν ἐκ μὲν 76 ἐτῶν $27758^{\eta}$, $10^{\omega}$, $4'$, ἐκ δὲ μηνῶν 940, $27758^{\eta}$, $18^{\omega}$, $9'$, $52''$, $20'''$. καὶ ἀκολούθως τὴν ἐν τούτοις διαφορὰν $8^{\omega}$, $9'$, $52''$, $20'''$· ἀλλὰ ταύτης ἐν τρισὶ καὶ πεντήκοντα πρὸς τοῖς πεντακοσίοις ἔτεσιν εἰς ἡμέραν συμποσουμένης, συμβαίνει

Ε.Γ. Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰς νεμηνίας θᾶττον λογίζεσθαι κατὰ Κάλλιπον, καὶ ἐν τοσούτοις ἔτεσι πρὸ ἡμέρας μιᾶς.

Ὡσαύτως ταῖς ἐξ ἀρχῆς ἑπόμενοι ὑποθέσεσι, καὶ τὸν Ἵππαρχον εὑρίσκουσιν ἀπατώμενον, ἅτε δὴ πρὸ τοῦ ἀληθοῦς 1ʰ, 8ᵐ, 23′, 29″, 21‴, τὰς νεομηνίας συναγούσης τῆς κατ' αὐτὸν περιόδου, ἤτοι τῶν 304 ἐτῶν. ταῦτα γὰρ ἀποδιδόασιν ἡμέρας 111033ʰ, 16ᵐ, 16′, οἱ δὲ 3760, μῆνες 111035, 0ᵐ, 39′, 29″, 20‴, ὥστε τῶν μηνῶν πρὸς τὰ ἔτη διαφορὰ καθ' ὑπεροχὴν 1ʰ, 8ᵐ, 23′, 29″, 21‴. ὁ δὲ Βίκτωρ κατὰ πάντα τῇ ἐννεακαιδεκαετηρίδι ἑπόμενος οὐκ ἂν ἀληθεύσειε ψευδομένης ἐκείνης. ἀλλὰ καὶ αὐτόθεν δῆλον τὸ ῥηθέν· τῆς γὰρ κατ' αὐτὸν περιόδου ἐξ ἡμερῶν 194313, μηνῶν δὲ 6580 συνεστηκείας, ἐκ δὲ τοσούτων μηνῶν συναγομένων ἡμερῶν 194311ʰ, 7ᵐ, 9′, 6″, 20‴, ἀναφύεται μεταξὺ τούτων διαφορὰ κατ' ἔλλειψιν 1ʰ, 16ᵐ, 58′, 59″, 40‴, ὥστε θᾶττον ἂν συμβαίνειν ἐπὶ τοῦ παντὸς αἱ τῶν φωστήρων σύνοδοι καὶ διαμετρήσεις, ἢ ταύτας παρίστησιν ἡ κατὰ Βίκτορα περίοδος· αὕτη γὰρ βραδύτερον τοῦ ἀληθοῦς συμβαινούσας δείκνυσι.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΙΔΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Περὶ Περιόδυ Ἐκκλησιαςικῆς, ἢ Ἰυλιανῆς.

## Ὅρος. λ΄.

*Ἰυλιανὴ περίοδος ἐςὶ σύςημα χρονικὸν ἐξ ἐτῶν 7980 συγκείμενον.*

## Σχόλιον.

Τῆς περιόδυ ταύτης ἐν μὲν τοῖς ἄνω χρόνοις Πανόδωρος μοναχὸς, πολλοῖς δ' ὕςερον ἔτεσιν Ἰωσὴφ Σκαλίγερος ὁ τῦ Ἰυλίυ, ἐξ ὗ καὶ τὴν ἐπωνυμίαν αὕτη ἐδέξατο, κοινότερον φέρονται ἐφευρεταὶ, τὴν γένεσιν ἐκ τῶν τῦ ἡλίυ ϗ σελήνης κύκλων ϗ τῆς ἰνδικτιόνος ἐχύσης· ἀναφύεται γὰρ ὑπὸ τῦ 15, 19, καὶ 28 πρὸς ἀλλήλυς πολλαπλασιαζομένων· ἀλλ' εἰκαὶ ἐκ Πανοδώρυ ἐκεῖνος ταύτην ἠρανίσατο, ὐχ' ὁμοίως μέντοι τύτῳ ἐχρήσατο· ἴδιον ταύτης τῆς περιόδυ ἐςὶ τὸ ἕκαςον τῶν ἐν αὐτῇ ἐτῶν ἰδίυς ἔχειν κύκλυς ἡλίυ καὶ σελήνης, καὶ Ἰνδικτιόνα, ὓς ὐδὲν ἕτερον τῶν πρὸ αὐτῦ ἔσχεν, ἢ ἕξει ἑτερόν τι τῶν μετ' αὐτό. οἷον τὸ πρῶτον μόνον ἔτος ἔχει κύκλον ἡλίυ πρῶτον, ϗ κύκλον σελήνης πρῶτον, ϗ ἰνδικτιόνα πρώτην· ὡσαύτως, ϗ τὸ ἔσχατον μόνον ἡλίυ κύκλον κή. ϗ σελήνης ιθ΄. ϗ ἰνδικτιόνα ιε΄. ὐδὲν δὲ τῶν ἄλλων τὺς τρεῖς τύτυς, ἢ ἐκείνυς ὁμῦ, ἀλλ' ἑτέρυς, οἵτινες ἂν ἐκείνῳ συνέλθοιεν· ϗ γὰρ ἕκα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

του ἰδίοις κύκλοις καὶ Ἰνδικτίοσι χαρακτηρίζεται· τὸ δὲ κινῆσαν τούτους τήνδε συμπῆξαι τὴν περίοδον ἐστὶ τὸ ἐκ ποδῶν ποιῆσαι πάσας τὰς χρονολογικὰς ἀντιλογίας τε καὶ διαφωνίας. τοῦ γὰρ χρόνου, τοῦ ἀπὸ κτίσεως κόσμου ἀγνοουμένου δι᾽ ἄλλατε πολλὰ, καὶ ταῦτα διὰ τὸ μὴ συνάδειν τὴν τῶν ό. ἑρμηνείαν τοῖς ἑβραϊκοῖς ἀντιγράφοις, μήτε τὰ ἀντίγραφα ταῦτα, κἀκείνην τε τοῖς σαμαρειτικοῖς, οὐχ᾽ ἡ τυχοῦσα εὑρίσκεται ἐν ταῖς ἱστορίαις διαφωνία. τῶν συγκεκομικότων ταύτας πρός τε ἀλλήλους, καὶ πρὸς τὴν θείαν διαφωνούντων γραφὴν, ἅτε δὴ ἑκάστου Ἰδίᾳ ἐποχῇ καὶ ἀπαριθμήσει τῶν ἐτῶν χρωμένου, καίτοι ἐν τοῖς πλείοσι συνῳδὰ φθεγγομένων· ἡ γὰρ ἀπ᾽ ἀρχῆς ληφθεῖσα διαφωνία, καὶ τὴν ἐν τοῖς ἑξῆς ἔτεσι διΐστησι συμφωνίαν. ταῦτ᾽ ἄρα ἐδέησε τοῖς τε πάλαι καὶ νῦν τῆς περιόδου ταύτης, ἥτις περιεκτικὴ τυγχάνουσα πασῶν τῶν χρονικῶν ἐποχῶν, ἐὰν ἐν χρήσει γένηται, οἷα τε εἴη τὰς μεταξὺ διαφωνίας ἀνελεῖν, ὡς μηκέτι ἄλλου ἐξ ἄλλης τὰ ἔτη ἀριθμοῦντος ἀρχῆς, ἀλλὰ πάντων μίαν καὶ τὴν αὐτὴν τηρούντων ἀρχὴν τὴν ἐκ τῆς περιόδου ὑποτεθεῖσαν. ἓν μὲν δὴ τοῦτο τῆς περιόδου τὸ χρήσιμον, ἕτερον δὲ οὐχ᾽ ἧττον ἐκείνου τὸ ῥαδίως τὰ ἔτη τῆς τυχούσης ἐποχῆς πρὸς τὰ ἑτέρας ἐποχῆς ἔτη ἀνάγεσθαι, καὶ τίνι τὶ ἂν εἴη σύνδρομον δείκνυσθαι.

Οὐχ᾽ ὁμοίως μέντοι οἱ ἀνατολικοὶ τοῖς δυτικοῖς τῇ περιόδῳ κέχρηνται· οἱ μὲν γὰρ ἀνατολικοὶ τῷ Πανοδώρῳ ἑπόμενοι ἀντ᾽ ἐποχῆς τῶν ἀπὸ κτι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Α. τηλ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σεως κόσμου ἐτῶν ταύτῃ χρώμενοι, καὶ τὸ ἀπ᾽ ἐκείνου μέχρι τῆς θείας ἐνανθρωπήσεως πέντε χιλιάδας ἀριθμοῦντες ἐτῶν, καὶ ὀκτὼ πρὸς τοῖς πεντακοσίοις, τῷ ͵εφθ´ ἔτει τῆς περιόδου τὴν τοῦ κυρίου προσάπτουσι γένησιν, καὶ ἀπ᾽ αὐτοῦ τὴν τῆς θείας ἐνανθρωπήσεως ἐποχὴν λαμβάνουσιν. οἱ δὲ δυτικοὶ ἐκ τῶν ὑστέρων συλλογιζόμενοι ἐκ τοῦ τετρακισχιλιοστοῦ ἑπτακοσιοστοῦ δεκάτου τετάρτου ἔτους τῆς περιόδου ταύτης τὴν ἀρχὴν ποιοῦνται τῆς κατὰ τὴν θείαν ἐνανθρώπησιν ἐποχῆς, ἤτοι πρὸ ἑπτακοσίων ἐννενήκοντα καὶ πέντε ἐτῶν, ἢ οἱ ἀνατολικοί. λαβόντες γὰρ ὁμολογούμενον ὅπερ, ὡς εἴρηται, ἐκ τῶν ὑστέρων συνάγουσι, τὸ τῆς θείας ἐνανθρωπήσεως ἔτος ἐσχηκέναι κύκλον μὲν ἡλίου ι´. σελήνης δὲ β´. Ἰνδικτιόνα δὲ δ´. καίτοι καὶ περὶ τούτου δὴ τοῦ ἔτους οὐ μικρὰ ἡ πρὸς ἀλλήλους τῶν νεωτέρων διαφωνία, τῶν μὲν προσεχὲς τῷ ἐν ᾧ ὁ σωτὴρ ἐνηνθρώπησεν οἰομένων, τῶν δὲ πέμπτον ἀπ᾽ ἐκείνου λογιζομένων, ἀλλ᾽ ἅπαξ τοῖς ῥηθεῖσι κύκλοις καὶ τῇ Ἰνδικτιόνι χαρακτηρίσαντες, καὶ ὡς ἀναντίῤῥητον λαβόντες, καὶ διὰ τοῦ ἑξῆς ιδ´. προβλήματος τὸ τῆς περιόδου ἔτος, ἐν ᾧ ταῦτα συντρέχουσι θηρεύσαντες, ἐπεὶ εὑρίσκεται τοιοῦτον τὸ τετρακισχιλιοστὸν ἑπτακοσιοστὸν δέκατον τέταρτον· τοῦτο δὴ τῷ τῆς θείας ἐνανθρωπήσεως ἔτει ποιοῦνται σύνδρομον.

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Πρόβλημα ιγ΄.

Τοῦ πρὸ τῆς θείας ἐνανθρωπήσεως, ἢ μετ᾽ αὐτὴν ἔτους δοθέντος, τὸ σύνδρομον αὐτῷ τῆς Ἰουλιανῆς περιόδου ἔτος εὑρεῖν, ϗ τοὺς τοῦ ἡλίου ϗ σελήνης κύκλους, ναὶ μὴν ϗ Ἰνδικτιόνα ὁρίσασθαι.

Τούτων οὕτως ὑπὸ τῶν νεωτέρων ὑποτιθεμένων, εὐχερῶς ἄν τις κατ᾽ αὐτοὺς θηρεύσειε τὸ ζητούμενον. Ἔςω γὰρ ἔτος τὸ χιλιοςὸν ἑπτακοσιαςὸν, ϗ ζητηθήτω τίνι τῆς περιόδου ἔτει ὑπάρχει σύνδρομον. συναφθήτω ὁ 1700 τῷ 4713, τὸ γὰρ δ,ψιγ΄. ἔτος ὑπόκειται προσεχῶς ἡγούμενον τοῦ ἔτους τῆς θείας ἐνανθρωπήσεως. ὁ δὲ ἐξ αὐτῶν 6413 ἀριθμὸς ἔςαι παραςατικὸς τοῦ ἔτους τῆς περιόδου· τοῦτον εἴτις διέλῃ ἐπὶ τὸν 28, ϗ 19, ϗ 15, εὑρήσει ἡλίου κύκλον πρῶτον σελήνης ι΄. ἰνδικτιόνα η΄.

Δοθήτω τὸ πρὸ τοῦ τῆς θείας ἐνανθρωπήσεως τρισχιλιοςὸν ἐννεακοσιοςὸν ὀγδοηκοςὸν τρίτον, ἀφαιρεθήτω ὁ 3983 ἀπὸ τοῦ 4713, καὶ ἐπεὶ ἐναπολείπεται ὁ 730, πρόδηλον ὅτι τὸ δοθὲν ἔτος ἐςὶ τὸ ψλα΄. τῆς περιόδου, διαιρεθέντος δὲ τοῦ 731 ἐπὶ τὸν 28, καὶ 19, ϗ 15, γνωσθήσονται οἱ κύκλοι ἡλίου ϗ σελήνης, ϗ ἡ ἰνδικτιών. εἰ δὲ τὸ πρὸ τοῦ τῆς θείας ἐνανθρωπήσεως τρισχιλιοςὸν ἐννεακοσιοςὸν ὀγδοηκοςὸν τρίτον ϗ α΄. εἴη τῶν ἀπὸ κτίσεως κόσμου, καθὰ δὴ ἡ κοινοτέρα αὐτῶν πρεσβεύει δόξα, πρὸ τοῦ τὸν χρόνον γενέσθαι, λαμβάνειν τὴν

ἀρχὴν τῆς πολυθρυλλήτου ταύτης χρονικῆς περιόδου οἱ γενάδαι ἀναγκάζονται. παραινοῦσιν ἔμπης τοὺς οὕτω διανοουμένους μηδόλως ἐπὶ τοῦτο ξενίζεσθαι, στέργειν δὲ ἐπὶ τοιαύτῃ χρονικῇ ἀναπλάσει τὸ τῆς περιόδου ἀναλογιζομένους χρήσιμον. ἀνάγκη γὰρ φασὶ τῶν τοῦ ἡλίου καὶ σελήνης κύκλων καὶ τῆς ἰνδικτιόνος κατὰ συνθήκην συνιστάντων, ἐπὶ τοσοῦτον χρονικῶς τῇ ἐπινοίᾳ συνενδραμεῖν, ἵνα ἡ τούτων κοινὴ ἀρχὴ κατάδηλος γένηται.

## Πρόβλημα. ιδ΄.

*Τῶν τοῦ ἡλίου καὶ σελήνης κύκλων, καὶ τῆς ἰνδικτιόνος δοθέντων, τὸ ἔτος τῆς Ἰουλιανῆς περιόδου εὑρεῖν ἐφ᾿ ὃ συντρέχουσι.*

Πολλαπλασιασθήτω ὁ μὲν τῷ τοῦ ἡλίου κύκλῳ ἀναλογῶν ἀριθμὸς ἐπὶ τὸν 4845, ὁ δὲ τῷ τῆς σελήνης ἐπὶ τὸν 4200, ὁ δὲ τῇ ἰνδικτιόνι ἐπὶ τὸν 6916, καὶ οἱ ἐξ αὐτῶν γινόμενοι ἀριθμοὶ συναφθήτωσαν, ὁ δὲ ἐξ αὐτῶν διαιρεθήτω ἐπὶ τὸν 7980, καὶ ὁ ἐναπολειπόμενος ἀριθμὸς ἔσαι δηλωτικὸς τοῦ ζητουμένου ἔτους τῆς περιόδου· οἷον ἔσωσαν οἱ δοθέντες κύκλοι μὲν σελήνης 7, ἡλίου δὲ 11, ἰνδικτιὼν δὲ ιε΄. πολλαπλασιασθήτω ὁ μὲν 4200 ἐπὶ τὸν 7, ὁ δὲ 4845 ἐπὶ τὸν 11, ὁ δὲ 6916 ἐπὶ τὸν 15, καὶ οἱ ἐκ τούτων συναφθήτωσαν εἰς ἕνα τὸν 1864323, οὗτος δὲ διαιρεθήτω ἐπὶ τὸν 7980, καὶ ἐπεὶ ἐναπολείπεται ὁ 2895 ἀριθμὸς, παρίστησιν ὅτι τὸ δι-

σχιλιοςὸν ὀκτακοσιοςὸν ἐννενηκοςὸν πέμπτον ἔτος ἔχει τὰς δοθέντας κύκλας, ϗ τὴν δοθεῖσαν ἰνδικτιόνα.

## Δεῖξις.

Ο γὰρ 4200 = 28 . 150 = 15 . 280 = 19 . 221 + ι· ἤτοι ἐπεὶ ὁ 4200 ἀριθμὸς γίνεται πολλαπλασιαζομένου τȢ 28, ἐπὶ τὸν 150, ἢ τοῦ 15 ἐπὶ τὸν 280, ἢ τȢ 19 ἐπὶ τὸν 221, προσκειμένης τῷ ὑπ' αὐτῶν γινομένῳ μονάδος, ἴσος ἐςὶ τοῖς ἀριθμοῖς τοῖς διὰ πολλαπλασιασμȢ ἐκείνων γινομένοις ȣ̓χ ἅμα, ἀλλ' ἑκάςῳ χωρὶς· γνωσθήσεται δὲ ὅτι ὁ ὑπὸ τȢ 28 ἐπὶ τον 150 πολλαπλασιαζομένȣ, ἴσος ἐςὶ τῷ ὑπὸ τȢ 15 ἐπὶ τὸν 280, ἐὰν γένηται ὡς ὁ 15 πρὸς τὸν 28, ȣ̔́τως ὁ 150 πρὸς ἄλλον τινὰ, εὑρεθήσεται γὰρ ὁ 280· ὁμοίως ὡς ὁ 19 πρὸς τὸν 15, ὁ 280 πρὸς ἄλλον τινὰ ϗ εὑρεθήσεται ὁ 221 + ι· ὅθεν τȢ 4200 πολλαπλασιαζομένȣ ἐπὶ τὸν 7, ϗ τȢ γινομένου διαιρȣμένου ἐπὶ τὸν 15, ϗ 28 χωρὶς, ȣ̓δέν τι ἐναπολείπεται· ἐπὶ δὲ τὸν 19, διαιρεθέντος ἐναπολειφθήσεται ὁ 7, ὅπερ γένοιτ' ἂν σαφέςερον διὰ τȢ ἑπομένου ἐπιλογισμȢ· ϗ γὰρ ὁ 4200 . 7 = 28 . 150 . 7 = 28 . 1050 = 15 . 280 . 7 = 15 . 1900 = 19 . 221 . 7 + 7 = 19 . 1547 + 7· ἤτοι ὁ ἐκ τȢ 4200 ἐπὶ τὸν 7 ἴσος ἐςὶ τῷ ὑπὸ τῶν 28, 150, 7, πρὸς ἀλλήλȣς πολλαπλασιασθέντων, ταὐτὸ δ' ἐςὶν εἰπεῖν τῷ ἐκ τȢ 1050 ἐπὶ τὸν 28· ὁ γὰρ 1050 γίνεται ἐκ τȢ 150 ἐπὶ τὸν 7, ϗ ȣ̔́τως ἐφεξῆς· ὥςε ὁ

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... Κ. Θ. ΠΕΤΣΙΟΣ
Ε. Λ. τη. Κ. τ. Π ΙΩΑΝΝΙΝΑ 2006

4200 . 7, ὑπὸ μὲν τȢ 28, ꙃ 15, καταμετρεῖται, ȣ̓κέτι δὲ ὑπὸ τȢ 19.

Ἔτι ὁ 4845 = 19 . 323 = 28 . 173 + 1, ὁμοίως ὁ 6916 = 19 . 364 = 28 . 217 = 15 . 461 + 1· ὅθεν τὸν αὐτὸν τρόπον δειχθήσεται ἐὰν ὁ 4845 ἐπὶ τὸν 11 πολλαπλασιασθῇ, ꙃ ὁ γενόμενος ἐπὶ τὸν 19, καὶ 15 διαιρεθῇ, μηδέν τι ἐναπολείπεσθαι, ἐπὶ δὲ τὸν 28, διαιρȣμένου ἐναπολείπεσθαι τὸν 11.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ὡσαύτως ἐὰν ὁ 6916 ἐπὶ τὸν 15 πολλαπλασιασθῇ, ꙃ ὁ γενόμενος ἐπὶ τὸν 19, ꙃ 28 διαιρεθῇ μηδὲν ἐναπολείπεσθαι· εἰ δὲ ꙃ ἐπὶ τὸν 15 διαιρȣμένȣ ȣ̓δὲν ἐναπολείπεται, ἀλλὰ καὶ ȣ̔́τως ἡ Ἰνδικτιὼν κατάδηλος γίνεται· τὸ γὰρ μηδὲν ἐναπολειφθῆναι παρίστησιν εἶναι Ἰνδικτιόνα τὴν ιέ· ὥστε κἂν ꙃ οἱ ἐκ τῶν 4200, 4845, 6916 ἀριθμῶν διὰ πολλαπλασιασμȢ ἐπὶ τὸν 7, 11, ꙃ 15 γινόμενοι εἰς ἕνα συναφθῶσι, πρόδηλον ὅτι ὁ ἐκ τῆς συνάψεως ἀποδοθεὶς ἀριθμὸς, ἐὰν μὲν διαιρεθῇ ἐπὶ τὸν 28, ἐναπολειφθήσεται ὁ 11, εἰδὲ ἐπὶ τὸν 19, ὁ 7, εἰδὲ ἐπὶ τὸν 15, μηδὲν, ἃ παρισῶσι κύκλȣς μὲν ἡλίȣ 11, σελήνης δὲ 7, Ἰνδικτιόνα δὲ ιέ.

Ἐπεὶ δὲ ἡ περίοδος καταμετρεῖται ὑπὸ τȢ 15, 28, 19, καταμετρήσει ꙃ αὐτὴ ὁμοίως τȣ́τοις τὸν ἀποδοθέντα ἀριθμὸν κατὰ τὸν 15, ꙃ ȣ̓ καταμετρήσει κατὰ τὸν 28, ꙃ 19· δι᾽ ὃ ἀφαιρεῖται ἐκείνου

Ψ.Δ τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ τῆς περιόδυ σημαντικὸς ἀριθμὸς, ὁσάκις ἐγχωρεῖ, ὃ δὴ ἀποτελεῖται διὰ τῆς διαιρέσεως· ὁ δὲ ἐναπολειπόμενος ἀριθμὸς ἤτοι ὁ 2895 τῦ ζητυμένου ἔτυς τῆς περιόδου παραλαμβάνεται δηλωτικὸς, ὃ προσοικειῦται ἡλίυ μὲν κύκλυς 11, σελήνης δὲ 7, ἰνδικτιόνα δὲ ιε΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ τῆς τῦ σωτηρίυ Πάσχα πανσέπτυ ἑορτῆς.

### Προδιοίκησις.

Τῶν προεκτεθεισῶν περιόδων δύο ἐς τὰ μάλιςα, ϗ τῇ ἐκκλησίᾳ ἐν χρήσει ἐγένοντο, ἡ ἐννεακαιδεκαετηρὶς λέγω, ϗ ἡ εἰκοσιοκτωετηρὶς, ὡς συντελῦσαι εἰς εὕρεσιν τῆς τῦ Πάσχα πανηγύρεως, ϗ τῶν τύτυ ἐξημμένων κινητῶν ἑορτῶν, ἃς δεσποτικὰς οἱ ἀρχαῖοι ἐκάλυν· ἀλλ᾽ ἵνα καθ᾽ ὁδὸν ὁ λόγος ἡμῖν βαδίζῃ, σκεπτέον πρῶτον ὅσα περί τε τῦ τυπικῦ Φάσκα, ϗ τῦ σωτηρίου Πάσχα θεῷ τε ϗ τοῖς θείοις ἀνδράσι τεθέσπιςαι· ἐκ τύτων γὰρ ϗ τὸ χρήσιμον τῶν περιόδων γνωσθήσεται· περὶ μὲν ὖν τῦ τυπικῦ Φάσκα τοιάδε Φέρεται παρὰ τῇ θείᾳ γραφῇ (α) „εἶπε δὲ „κύριος πρὸς Μωϋσῆν ϗ Ἀαρὼν ἐν γῇ Αἰγύπτυ λέ„γων· ὁ μὴν ὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτος ὑμῖν „ἐςὶν ἐν τοῖς μησὶ τῦ ἐνιαυτῦ· λάλησον πρὸς πᾶ-

(α) Ἐξόδου κεφ. ιβ΄. Λευϊτ. κεφ. κγ΄. Ἀριθ. κεφ. θ΄.

Ε.Υ.Δ της Κ.Θ.Π ΙΩΑΝΝΙΝΑ 2006

» σαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγων· τῇ δεκάτῃ
» τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ'
» οἴκους πατριῶν· καὶ μετ' ὀλίγα· πρόβατον τέλειον
» ἐνιαύσιον, ἄρσεν, ἄμωμον, καὶ ἔσται ὑμῖν διατετη-
» ρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τού-
» του, καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς
» υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν, καὶ φάγονται τὰ κρέα
» τῇ νυκτὶ ταύτῃ ὀπτὰ πυρί, Πάσχα ἐστὶ κυρίου· ἐξ
ὧν ἀριδήλως συνάγεται τῇ ιδ', τοῦ πρώτου μηνὸς δεῖν
τὸ Πάσχα θύεσθαι· πρῶτος δὲ μὴν, σεληνιακὸς δη-
δηλονότι, ἐστὶν, οὗ ἡ ιδ'. συμπίπτει τῇ ἐαρινῇ Ἰση-
μερίᾳ, ἢ προσεχῶς ταύτῃ ἕπεται, κατά τε Ἰώσηπον,
καὶ Ἀνατόλιον Λαοδικείας ἐπίσκοπον παρ' Εὐσεβίῳ
» τοῦ Παμφίλου. (α) Τῷ δὲ μηνὶ τῷ Ξανθικῷ, ὃς
» Νισὰν παρ' ἡμῖν καλεῖται, καὶ τοῦ ἔτους ἐστὶν ἀρχὴ
» τεσσαρεσκαιδεκάτῃ κατὰ σελήνην ἐν κριῷ τοῦ ἡλίου
» καθεστῶτος· τούτῳ γὰρ τῷ μηνὶ τῆς ὑπ' Αἰγυπ-
» τίους δουλείας ἠλευθερώθημεν, καὶ τὴν θυσίαν, ἣν
» τότε ἐξιόντας Αἰγύπτου θῦσαι προεῖπον ἡμᾶς, Πά-
» σχα λεγομένην δι' ἔτους ἑκάστου θύειν ἐνόμισε· καὶ
» δὴ τελοῦμεν αὐτὴν κατὰ φατρίας, μηδενὸς τῶν
» τεθυμένων εἰς τὴν ἐπιοῦσαν τηρουμένου· πέμπτῃ δὲ
» καὶ δεκάτῃ διαδέχεται τὴν τοῦ Πάσχα ἡ τῶν ἀζύ-
» μενων ἑορτὴ ἑπτὰ ἡμέρας οὖσα, καθ' ἣν ἀζύμοις
» τρέφονται· (β) ἔχει τοίνυν ἐν τῷ πρώτῳ ἔτει τὴν

(α) Ἰώσηπος Ἰουδαϊκῆς ἀρχαιολογίας βιβλίῳ γ'. κεφ. ι'.

(β) Ἀνατόλιος παρ' Εὐσεβίῳ ἐκλ. Ἱστορ. βιβ. ζ'. κεφ. λβ'.



Ε.Υ.Σ.Α. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

» νουμηνίαν τοῦ πρώτου μηνός, ἥτις ἁπάσης ἐστὶν ἀρ-
» χὴ τῆς ἐννεακαιδεκαετηρίδος τῆς κατ' Αἰγυπτίους
» μὲν Φαμενὼθ ἕκτη καὶ εἰκάδι, κατὰ δὲ τοὺς Μα-
» κεδόνων μῆνας δύστρου δευτέρα καὶ εἰκάδι, ὡς δ'
» ἂν εἴποιεν Ῥωμαῖοι πρὸ ἕνδεκα καλανδῶν ἀπριλλίου·
» εὑρίσκεται δὲ ὁ ἥλιος ἐν τῇ προκειμένῃ Φαμενὼθ
» ἕκτῃ καὶ εἰκάδι οὐ μόνον ἐπιβὰς τοῦ πρώτου τμήμα-
» τος, ἀλλ' ἤδη καὶ τετάρτην ἡμέραν ἐν αὐτῷ δια-
» πορευόμενος· τοῦτο δὲ τὸ τμῆμα πρῶτον δωδεκα-
» τημόριον, καὶ Ἰσημερινὸν, καὶ μηνῶν ἀρχὴν, καὶ κε-
» φαλὴν τοῦ κύκλου, καὶ ἄφεσιν τοῦ τῶν πλανητῶν
» δρόμου καλεῖν εἰώθασι· τὸ δὲ πρὸ τούτου μηνῶν ἔ-
» σχατον, καὶ τμῆμα δωδέκατον, καὶ τελευταῖον δω-
» δεκατημόριον, καὶ τέλος τῆς τῶν πλανητῶν περιό-
» δου· διὸ καὶ τοὺς ἐν αὐτῷ τιθεμένους τὸν πρῶτον
» μῆνα, καὶ τὴν τεσσαρεσκαιδεκάτην τοῦ Πάσχα κατ'
» αὐτὴν λαμβάνοντας, οὐ μικρῶς, οὐδ' ὡς ἔτυχεν ἁ-
» μαρτάνειν φαμέν· ἔστι δὲ οὐχ ἡμέτερος οὗτος ὁ λό-
» γος, Ἰουδαίοις δ' ἐγινώσκετο τοῖς πάλαι, καὶ πρὸ
» Χριστοῦ, ἐφυλάττετό τε πρὸς αὐτῶν μάλιστα· μα-
» θεῖν δ' ἐστὶν ἐκ τῶν ὑπὸ Φίλωνος, Ἰωσήπου, Μου-
» σαίων λεγομένων καὶ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν
» ἔτι παλαιοτέρων, ἀμφοτέρων Ἀγαθοβούλων τῶν
» ἐπίκλην διδασκάλων Ἀριστοβούλου τοῦ πάνυ, ὃς ἐν
» τοῖς ἑβδομήκοντα κατειλεγμένος, τοῖς τὰς ἱερὰς
» καὶ θείας ἑρμηνεύσασι γραφὰς Πτολεμαίῳ τῷ Φι-
» λαδέλφῳ, καὶ τῷ τούτου πατρὶ, καὶ βίβλους ἐξηγη-
» τικὰς τοῦ Μωσέως νόμου τοῖς αὐτοῖς προσεφώνησε
» βασιλεῦσιν· οὗτοι τὰ ζητούμενα κατὰ τὴν ἔξοδον

» ἐπιλύοντες, φασὶ δεῖν τὰ διαβατήρια θύειν ἐπίσης ἅπαντας μετὰ Ἰσημερίαν ἐαρινὴν μεσοῦντος τοῦ πρώτου μηνός· Τοῦτο δ' εὑρίσκεσθαι, τὸ πρῶτον τμῆμα τοῦ ἡλιακοῦ, ἢ ὥς τινες αὐτῶν ὠνόμασαν ζωοφόρον κύκλον, διεξιόντος ἡλίου· Ὁ δ' Ἀριστόβουλος προστίθησιν, ὡς εἴη ἐξ ἀνάγκης τῇ τῶν διαβατηρίων ἑορτῇ, μὴ μόνον τὸν ἥλιον τὸ Ἰσημερινὸν διαπορεύεσθαι τμῆμα, καὶ τὴν σελήνην δέ· τῶν γὰρ Ἰσημερινῶν τμημάτων ὄντων δύο, τοῦ μὲν ἐαρινοῦ, τοῦ δὲ μετοπωρινοῦ, καὶ διαμετρούντων ἄλληλα, δοθείσης τε τῆς τῶν διαβατηρίων ἡμέρας τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς μεθ' ἑσπέραν, ἐστήξεται μὲν ἡ σελήνη τὴν ἐναντίαν κατὰ διάμετρον τῷ ἡλίῳ στάσιν, ὥσπερ οὖν ἔξεστι ἐν ταῖς πανσελήνοις ὁρᾶν, ἔσονται δὲ ὁ μὲν κατὰ τὸ ἐαρινὸν Ἰσημερινὸν ὁ ἥλιος τμῆμα, ἡ δὲ ἐξ ἀνάγκης κατὰ τὸ μετοπωρινὸν Ἰσημερινὸν, ἡ σελήνη· οἶδα πλεῖστα καὶ ἄλλα πρὸς αὐτῶν λεγόμενα, τοῦτο μὲν πιθανὰ, τοῦτο δὲ κατὰ τὰς κυριακὰς ἀποδείξεις προϊόντα, δι' ὧν παριστάνειν πειρῶνται τὴν τοῦ Πάσχα, καὶ τὴν τῶν ἀζύμων ἑορτὴν δεῖν πάντως μετ' Ἰσημερίαν ἄγεσθαι· παρίημι δὲ τὰς τοιαύτας τῶν ἀποδείξεων ὕλας ἀπ' αὐτῶν, ὧν περιῄρηται μὲν τὸ ἐπὶ τοῦ Μωσέως νόμῳ κάλυμμα, ἀνακεκαλυμμένῳ δὲ τῷ προσώπῳ λοιπὸν ἤδη Χριστὸν, καὶ τὰ Χριστοῦ ἀεὶ κατοπτρίζεσθαι μαθήματά τε καὶ παθήματα· τοῦ δὲ τὸν πρῶτον παρ' Ἑβραίοις μῆνα περὶ Ἰσημερίαν εἶναι, παραστατικὰ καὶ τὰ ἐν τῷ Ἐνὼχ μαθήματα· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον· τὸ δὲ σω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΙΩΑΝΝΙΝΑ 2006

τήριον Πάσχα, ὃ τύπος ἐκεῖνο καὶ σκιὰ, ἀνέκαθεν ἡ ἐκκλησία ἀποςολικαῖς κατακολουθοῦσα παραδόσεσιν ἐθέσπισεν ἑορτάζεσθαι τῇ μετὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ πρώτου μηνὸς ἑπομένῃ κυριακῇ, ταύτης εἴτε κυριακῆς οὔσης, εἴτε τινος ἄλλης τῶν τῆς ἑβδομάδος ἡμερῶν· τὸ μὲν ἵνα ὥσπερ τῇ πρώτῃ τῇ μετὰ τὸ νομικὸν Φάσκα κυριακῇ ἐκ νεκρῶν ἀνέςη ὁ κύριος, οὕτω κἀν τοῖς ἔπειτα χρόνοις ἡ τῆς ἀναςάσεως τελῆται ἑορτὴ, τὸ δὲ ἵνα μὴ τοῖς Ἰουδαίοις συνεορτάζωσιν οἱ πιςοί· ὡς ἐςιν ἰδεῖν παρ' Εὐσεβίῳ τοῦ Παμφίλου, (α) καὶ ἄλλοις· ἃ δὴ ἥ,τε ἐν Νικαίᾳ πρώτη ἐπεκύρωσε, καὶ ἡ ἐν Ἀντιοχείᾳ ἐπεσφράγισαν ἁγιώταται σύνοδοι.

## Κανὼν πρῶτος τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

„ Ὅρον ἐξενήνοχεν ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος
„ ὑπ' ὄψιν τοῦ εὐσεβοῦς βασιλέως Κωνςαντίνου, τὴν
„ τοῦ ἁγίου Πάσχα τελετὴν μὴ συνάμα τοῖς Ἰουδαίοις
„ τοὺς χριςιανοὺς ἄγειν, ἀλλ' ὥσπερ τοῖς νόμοις καὶ
„ τῷ Φρονήματι, οὕτω καὶ τῷ διαλλάττοντι τῶν ἡμε-
„ ρῶν τούτων ἀποδιίςασθαι· τοὺς δὴ τὸν ὅρον ἐκεῖ-
„ νον παραλύειν τολμῶντας κληρικοὺς, καὶ οὕτω τὸν
„ λαὸν πειρωμένους διδάσκειν τῇ ἀφαιρέσει ζημιοῦ
„ τῆς ἱερωσύνης.

---

(α) Ἐκλ. ἱςορ. βιβλ., έ. κεφ. κγ'.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Πόρισμα πρῶτον.

Ἐκ τούτων ῥᾶστα συνάγεται, ὅτι ὑποτιθεμένης τῆς ἰσημερίας ἐν τῇ κα΄. τοῦ κατὰ ῥωμαίους Μαρτίου μηνὸς, ὥσπερ ἦν ὅτε ἡ ἐν νικαίᾳ συνεκροτήθη πρώτη σύνοδος, ἐὰν ὁ σεληνιακὸς πρῶτος μὴν ἐν τῇ ὀγδόῃ τοῦ αὐτοῦ ἄρξηται, ἡ τεσσαρεσκαιδεκάτη ἐκείνου συμπεσεῖται τῇ κα΄. τοῦ Μαρτίου· καὶ πρῶτος ἔσται οὗτος μὴν κατὰ Μωσῆν· εἰ μὲν οὖν αὕτη τύχῃ οὖσα σάββατον τῇ ἑξῆς κβ΄. οὔσῃ κυριακῇ, τὸ σωτήριον ἂν τελεσθείη Πάσχα, εἰ μή τις εἴποι μὴ δεῖν ἐν ταύτῃ τελεῖσθαι, ἵνα μὴ καὶ οὕτω οἱ πιστοὶ τοῖς Ἰουδαίοις φανῶσι συνεορτάζοντες· εἰ δὲ ἡ κα΄. Μαρτίου εἴη κυριακὴ, τελεσθείη ἂν τὸ Πάσχα τῇ κη΄. Μαρτίου ἤτοι τῇ ἑξῆς κυριακῇ· ἐὰν δὲ ὁ σεληνιακὸς α΄. μὴν ἀπό τινος ἡμέρας τῶν πρὸ τῆς ὀγδόης τοῦ Μαρτίου ἄρξηται, ὁ τοιοῦτος οὐκ ἂν εἴη πρῶτος μὴν ὡς ἐσχηκὼς τὴν τεσσαρεσκαιδεκάτην πρὸ τῆς Ἰσημερίας· ἀλλ᾽ ἕτερός τις τῶν ἀπὸ μιᾶς τινὸς τῶν μεταξὺ τῆς ζ΄. Μαρτίου καὶ ϛ΄. Ἀπριλλίου ἐχόντων τὴν ἀρχήν· ἕκαστος γὰρ τῶν ἀπό τινος τῶν ἡμερῶν τούτων εἴκοσι καὶ ἐννέα οὐσῶν τὸν ἀριθμὸν ἀρχόμενος, πρῶτός ἐστιν, ὅτι ἡ κατ᾽ αὐτὸν ιδ΄, ἢ τῇ ἐαρινῇ Ἰσημερίᾳ, ὡς τοῦ ἐν τῇ ὀγδόῃ Μαρτίου ἀρχομένου, ἢ ἑτέρᾳ τινὶ τῶν μετ᾽ ἐκείνην ἡμερῶν ἔσται συμπίπτουσα, ὡς τῶν λοιπῶν μηνῶν τῶν παρὰ τὴν ὀγδόην Μαρτίου ἀρχομένων· ἀλλ᾽ οὐδ᾽ ὁ ἀπὸ τῆς ϛ΄. Ἀπριλλίου ποιούμενος τὴν ἀρχὴν πρῶτος ἂν εἴη, τοιοῦτος γὰρ ὁ πρὸ αὐτοῦ, ἤτοι ὁ ἐν τῇ ὀγδόῃ Μαρτίου λαβὼν τὴν ἀρχήν.